τὸν ἐρῶντα τόν τε συν.[. . . . . . . . .]ν ἅμα
αὑτοῖς ὑπὲρ τούτων τι σ[υγκοινουμ]ένους.

## ACTVS I

*ΧΑΙΡΕΑΣ*

τί φῄς; ἰδὼν ἐνθένδε παι͏̂δ' ἐλευθέραν
τὰς πλησίον Νύμφας στεφ[ανο]ῦσαν, Σώστρατε,
ἐρῶν ἀπῆλθες εὐθύς;

*ΣΩΣΤΡΑΤΟΣ*

εὐθ[ύς].

(Χα.) ὡς ταχύ.
ἦ τοῦτ' ἐ⟨βε⟩βούλευσ' ἐξιών, ἐρᾶ[ν] τινος;
(Σω.) σκώπτεις· ἐγὼ δέ, Χαιρέα, κακῶς ἔχω.
(Χα.) ἀλλ' οὐκ ἀπιστῶ.
(Σω.) διόπερ ἥκω παραλαβὼν
σὲ πρὸς τὸ πρᾶγμα, καὶ φίλον καὶ πρακτικὸν
κρίνας μάλιστα.
(Χα.) πρὸς τὰ τοιαῦτα, Σώστρατε,
οὕτως ἔχω· παραλαμβάνει τις τῶν φίλων
ἐρῶν ἑταίρας· εὐθὺς ἁρπάσας φέρω·
μεθύω, κατακάω, λόγον ὅλως οὐκ ἀνέχομαι.
πρὶν ἐξετάσαι γὰρ ἥτις ἐστί, δεῖ τυχεῖν·
τὸ μὲν βραδύνειν γὰρ τὸν ἔρωτ' αὔξει πολύ,
ἐν τῷ ταχέως δ' ἔνεστι παύσασθαι ταχύ.
γάμον λέγει τις καὶ κόρην ἐλευθέραν·
ἕτερός τίς εἰμ' ἐνταῦθα· πυνθάνομαι γένος,



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416933327/15 UNIVERSITÄT LEIPZIG